**Κυριακὴ 2 Ἰουνίου. Κυριακή της Σαμαρείτιδος.**
**Μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. Ἑωθινὸν Ζ'.**

Τῇ αὐτῇ ἡμέρα, Κυριακῇ πέμπτῃ ἀπὸ τοῦ Πάσχα, τὴν τῆς Σαμαρείτιδος ἑορτὴν ἑορτάζομεν.

**Τυπικαὶ διατάξεις τῶν Ἱερῶν Ἀκολουθιῶν**

## Ἐν τῷ μικρῷ ἑσπερινῷ

Μετὰ τὸ· *Χριστὸς ἀνέστη*...ἐκ γ' καὶ τὸν προοιμιακὸν ψαλμόν, εἰς τὸ· *Κύριε ἐκέκραξα*...ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ γ' ἀναστάσιμα τοῦ δ' ἤχου στιχηρὰ· *Τὸν ζωοποιόν σου Σταυρόν*...*Τοῦ ξύλου τῆς παρακοῆς*...*Πύλας Ἅδου συνέτριψας Κύριε*...καὶ ἐν ἀνατολικόν· *Δεῦτε ἀνυμνήσωμεν λαοὶ*...Δόξα...τὸ ἰδιόμελον τῆς Σαμαρείτιδος· *Παρὰ τὸ φρέαρ τοῦ Ἰακὼβ*...Καὶ νῦν, τὸ α' δογματικὸν θεοτοκίον τοῦ ἤχου· *Ἀσπόρως συνέλαβες*...Τὸ· *Φῶς ἱλαρόν*...Τὸ προκείμενον· *Ὁ Κύριος ἐβασίλευσεν*... μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν· *Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ*...εἶτα τὰ γ' προσόμοια τῆς Θεοτόκου· *Ὁ ἐξ ἀνάρχου Πατρὸς Υἱὸς ἀχρόνως*...*Σωματωθέντα τὸν Κτίστην τῶν ἁπάντων*... *Ἵνα σου πάσι τὸ πλῆθος*...Δόξα...τὸ ἰδιόμελον τῆς Σαμαρείτιδος· *Ὡς ὤφθης ἐπὶ γῆς*...Καὶ νῦν...τὸ ἰδιόμελον τῆς Μεσοπεντηκοστῆς· *Μεσούσης τῆς Ἑορτῆς*...Τό· *Νῦν ἀπολύεις*...καὶ τὰ Ἀπολυτίκια· *Τὸ φαιδρόν της Ἀναστάσεως κήρυγμα*...Δόξα...Καὶ νῦν...τὸ ἀπολυτίκιον τῆς Μεσοπεντηκοστῆς· *Μεσούσης τῆς Ἑορτῆς*...Ἀπόλυσις.

## Ἐν τῷ ἀποδείπνῳ

Ἐν τῷ μικρῷ ἀποδείπνῳ, ψάλλομεν τὸν κανόνα τῆς Θεοτόκου κατ' ἦχον καὶ ἡμέραν· *Φωτί με τῶν πρεσβειῶν σου φώτισον*...(ἐκ τοῦ Θεοτοκαρίου τοῦ ἁγίου Νικοδήμου τοῦ ἁγιορείτου). Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον τῆς Σαμαρείτιδος· *Πίστει ἐλθοῦσα ἐν τῷ φρέατι*...Ἐν τέλει δὲ οἱ οἶκοι τῆς Θεοτόκου.

## Ἐν τῷ μεγάλῳ ἑσπερινῷ

Τὸ· *Χριστὸς ἀνέστη…*ἐκ γ' καὶ ὁ προοιμιακὸς ψαλμὸς· εἶτα τὸ α' κάθισμα τοῦ Ψαλτηρίου, ἤτοι τὸ· *Μακάριος ἀνήρ…*Εἰς δὲ τὸ· *Κύριε ἐκέκραξα..*ἱστῶμεν στίχους ι' καὶ ψάλλομεν γ' στιχηρὰ ἀναστάσιμα τοῦ δ' ἤχου· *Τὸν ζωοποιόν σου Σταυρόν…Τοῦ ξύλου τῆς παρακοῆς…Πύλας Ἅδου συνέτριψας Κύριε…*καὶ ἐν ἀνατολικὸν στιχηρὸν· *Δεῦτε ἀνυμνήσωμεν λαοὶ…*τὰ γ' προσόμοια τῆς Μεσοπεντηκοστῆς· *Παρεστιν ἡ μεσότης ἡμερῶν…Ἤκουσε καὶ εὐφράνθη ἡ Σιὼν…Ἤγγικεν ἡ του θείου δαψιλῆς…* καί τά γ' ιδιόμελα της Σαμαρείτιδος· *Ἐπὶ τὴν πηγὴν ἐπέστη...Ἐπὶ τὸ φρέαρ ὡς ἦλθεν ὁ Κύριος…Ὁ συνάναρχος καὶ συναΐδιος Υἱὸς…*Δόξα…τὸ ἰδιόμελον τῆς Σαμαρείτιδος· *Παρὰ τὸ φρέαρ τοῦ Ἰακὼβ…*Καὶ νῦν…τὸ α' θεοτοκίον τοῦ ἤχου· *Ὁ διὰ σὲ θεοπάτωρ Προφήτης Δαυῒδ…*Εἴσοδος. Τὸ· *Φῶς ἱλαρόν…* Τὸ Προκείμενον· *Ὁ Κύριος ἐβασίλευσεν…*μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὴν λιτήν, τὸ στιχηρὸ τοῦ ἁγίου τῆς μονῆς ἢ τοῦ ἁγίου τοῦ ναοῦ. Δόξα…Καὶ νῦν…τὸ ἰδιόμελον τῆς Σαμαρείτιδος· *Ἀγαλλιάσθω σήμερον φαιδρῶς…*Εἰς τὸν στίχον, τὸ ἀναστάσιμον στιχηρὸν· *Κύριε, ἀνελθὼν ἐν τῷ Σταυρῷ…*εἶτα τὰ στιχηρὰ τοῦ Πάσχα· *Πάσχα ἱερὸν ἡμῖν σήμερον…Δεῦτε ἀπὸ θέας Γυναῖκες…Αἱ Μυροφόροι γυναῖκες…Πάσχα τὸ τερπνόν…*Δόξα…τὸ ἰδιόμελον τῆς Σαμαρείτιδος· *Ὡς ὤφθης ἐπὶ γῆς…*Καὶ νῦν…τὸ ἰδιόμελον τῆς Μεσοπεντηκοστῆς· *Μεσούσης τῆς Ἑορτῆς…*Τό· *Νῦν ἀπολύεις…*Τὸ· *Χριστὸς ἀνέστη…*ἐκ γ', χῦμα. Εἶτα· *Δόξα, καὶ νῦν… Παναγία Τριάς…Πάτερ ἡμῶν…Ὅτι σοῦ ἐστιν…*Ἀπολυτίκιον· *Τὸ φαιδρόν της Ἀναστάσεως κήρυγμα…*Δόξα, τὸ ἀπολυτίκιον τῆς Μεσοπεντηκοστῆς· *Μεσούσης τῆς Ἑορτῆς…*Καὶ νῦν· *Θεοτόκε Παρθένε…*Ἡ εὐλόγησις τῶν ἄρτων, καὶ ἀνάγνωσις εἰς τὰς Πράξεις τῶν ἀποστόλων. Εἶτα τὰ λοιπὰ τῆς ἀγρυπνίας.

**Μὴ οὔσης ἀγρυπνίας**, ἐν τῷ μεγάλῳ ἑσπερινῷ λέγομεν ἀπολυτίκια ὡς ἐν τῷ μικρῷ διετάχθησαν. Τῇ δὲ Κυριακῇ πρωί, **ἐν τῷ μεσονυκτικῷ**, ὁ τριαδικὸς κανὼν τοῦ ἤχου· *Τριάδα θεαρχικὴν δοξάσωμεν…*Τά· *Ἄξιόν ἐστιν…Τρισάγιον…*Τὸ ἀπολυτίκιον τῆς Μεσοπεντηκοστῆς· *Μεσούσης τῆς Ἑορτῆς…*αἱ δεήσεις καὶ ἡ ἀπόλυσις.

## Ἐν τῷ ὄρθρῳ

Μετὰ τὸν εὐλογητὸν τοῦ ἱερέως, τὸ· *Χριστὸς ἀνέστη*…ἐκ γ', ἤτοι ἅπαξ ὑπὸ τοῦ ἱερέως καὶ δὶς ὑπὸ τῶν χορῶν. Εἶτα *Δόξα…Καὶ νῦν…Τρισάγιον…Παναγία Τριάς…Πάτερ ἡμῶν…Ὅτι σοῦ ἐστιν*…καὶ καθεξῆς ὁ ἑξάψαλμος. Εἰς τὸ· *Θεὸς Κύριος*...τὰ Ἀπολυτίκια· *Τὸ φαιδρόν της Ἀναστάσεως κήρυγμα*…Δόξα· *τὸ αὐτὸ*…Καὶ νῦν, τῆς Μεσοπεντηκοστῆς· *Μεσούσης τῆς Ἑορτῆς*…Εὐθὺς ἡ στιχολογία τοῦ Ψαλτηρίου ὡς ἑξῆς: ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον* γ', Δόξα, καὶ νῦν…Καὶ ἀναγινώσκει τὸ Β' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός*. Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι*. Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι σὸν τὸ κράτος*…Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον*…Δόξα· *Ἀνέστης ὡς ἀθάνατος*…Καὶ νῦν, τὸ θεοτοκίον· *Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον*…Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν*. Καὶ ἀναγινώσκει τὸ Γ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ λέγει· *Δόξα, καὶ νῦν. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα δόξα σοι, ὁ Θεός*. Ἐκ γ'. *Ἡ ἐλπὶς ἡμῶν Κύριε δόξα σοι*. Ὁ ἱερεύς· μικρὰ συναπτὴ καί· *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος*…Ὁ χορός· *Ἀμήν*, καὶ ψάλλονται τὰ ἀναστάσιμα καθίσματα· *Ἐκ τῶν ἄνω κατελθών*…Δόξα· *Ἑκουσία σου βουλῇ*…Καὶ νῦν, τὸ θεοτοκίον· *Κατεπλάγη Ἰωσὴφ*…Εἶτα ὁ ἀναγνώστης· *Κύριε, ἐλέησον γ', Δόξα, καὶ νῦν*. Καὶ ἀναγινώσκει τὸ ΙΖ' κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ τέλος αὐτοῦ ψάλλονται τὰ *Εὐλογητάρια*. Αἴτησις καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου· *Τὰ τῆς σῆς παραδόξου Ἐγέρσεως*…Εὐθὺς οἱ ἀναβαθμοὶ τοῦ ἤχου, τὸ προκείμενον αὐτοῦ καὶ ἅπασα ἡ τάξις τοῦ ἑωθινοῦ ζ' Εὐαγγελίου. Εἶτα τὸ· *Ἀνάστασιν Χριστοῦ*…Ὁ ν' ψαλμός. Δόξα· *Ταῖς τῶν Ἀποστόλων*…Καὶ νῦν· *Ταῖς τῆς Θεοτόκου*…Εἰς τὸν στίχον τὸ· *Ἀναστὰς ὁ Ἰησοῦς*…

**Εἶτα οἱ κανόνες·** ὅ του Πάσχα μετὰ τῶν εἱρμῶν εἰς δ' τροπάρια, ὁ τῆς Θεοτόκου, ἄνευ εἱρμῶν, εἰς β' τροπάρια, ὁ δεύτερος κανὼν τῆς Μεσοπεντηκοστῆς, ἄνευ εἱρμοῦ, εἰς δ' τροπάρια καὶ τῆς Σαμαρείτιδος εἰς δ'

τροπάρια, ἄνευ εἱρμῶν. Οὐ λέγομεν δὲ στίχους τῶν ᾠδῶν, ἀλλ' εἰς μὲν τὰ ἀναστάσιμα τροπάρια· *Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου Κύριε*, εἰς τὰ τῆς Θεοτόκου· *Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς*, καὶ ἐν τῷ κανόνι τῆς Σαμαρείτιδος καὶ τῆς Μεσοπεντηκοστῆς· *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, εἰς δὲ τὰ δύο τελευταῖα τὸ· *Δόξα*...καὶ τὸ· *Καὶ νῦν*...Καταβασίαι οἱ εἱρμοὶ τοῦ κανόνος τοῦ Πάσχα· *Ἀναστάσεως ἡμέρα*...Ἀπὸ γ' ᾠδῆς, τὸ κοντάκιον τῆς Μεσοπεντηκοστῆς· *Τῆς Ἑορτῆς τῆς νομικῆς μεσαζούσης*...Εἶτα, κάθισμα τῆς Σαμαρείτιδος· *Ἀγαλλιάσθω οὐρανὸς*...Δόξα...Καὶ νῦν...τῆς Μεσοπεντηκοστῆς· *Ὁ της σοφίας χορηγὸς καὶ Δεσπότης*...Ἀφ' ἕκτης, κοντάκιον τῆς Σαμαρείτιδος· *Πίστει ἐλθοῦσα ἐν τῷ φρέατι*...καὶ ὁ οἶκος αὐτῆς· *Τῶν σεπτῶν μυστηρίων ἀκούσωμεν*...Συναξάριον τοῦ Μηναίου, εἶτα τοῦ Πεντηκοσταρίου. **Ἡ τιμιωτέρα οὐ στιχολογεῖται**, ἀλλὰ ψάλλεται ἡ θ' ᾠδὴ τοῦ κανόνος τοῦ Πάσχα μετὰ τῶν μεγαλυναρίων αὐτοῦ, τὰ δύο θεοτόκια μετὰ τῶν μεγαλυναρίων· *Μαγδαληνὴ Μαρία*...*Χαῖρε Παρθένε χαῖρε*..., ἡ θ' ᾠδὴ τοῦ κανόνος τῆς Σαμαρείτιδος καὶ τῆς Μεσοπεντηκοστῆς μετὰ τοῦ ῥηθέντος στίχου.

**Τὸ· *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν***...ἐκ γ' καὶ τὸ· *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν*...εἶτα τὸ ἐξαποστειλάριον τοῦ Πάσχα· *Σαρκὶ ὑπνώσας ὡς θνητός*... τῆς Σαμαρείτιδος· *Σαμάρειαν κατέλαβες*...καὶ τῆς Μεσοπεντηκοστῆς· *Μεσούσης παραγέγονας*...Εἰς τοὺς αἴνους, ἱστῶμεν στίχους η' καὶ ψάλλομεν ἀναστάσιμα στιχηρὰ δ'· *Ὁ Σταυρὸν ὑπομείνας καὶ θάνατον*...*Ἐν τῷ Σταυρῷ σου Χριστέ*...*Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτήρ*...*Τῶν πατρικῶν σου κόλπων*...τὰ β' ἀνατολικὰ στιχηρὰ· *Θάνατον καταδέξω σαρκί*... *Πέτραι ἐσχίσθησαν Σωτὴρ*...καὶ τῆς Σαμαρείτιδος β' ἰδιόμελα· *Ἀγαλλιάσθω σήμερον φαιδρῶς*...*Τάδε λέγει Κύριος τῇ Σαμαρείτιδι*...Δόξα...τὸ ἰδιόμελον τῆς Σαμαρείτιδος· *Ἡ πηγὴ τῆς ζωαρχίας*...Καὶ νῦν...τὸ Θεοτοκίον· *Ὑπευλογημένη ὑπάρχεις*...*Δοξολογία μεγάλη*, καὶ μόνον τὸν ἀναστάσιμον τροπάριον· *Σήμερον σωτηρία*...Ἐκτενής, ἀπόλυσις. Εἶτα ψάλλομεν τὸ ζ' ἑωθινὸν ἰδιόμελον· *Ἰδοὺ σκοτία καὶ πρωΐ*...καὶ ἡ α' ὥρα ἐν τῷ νάρθηκι.

## Ἐν ταῖς ὥραις

Τὸ ἀναστάσιμον ἀπολυτίκιον· *Τὸ φαιδρόν της Ἀναστάσεως κήρυγμα…* Δόξα…τὸ ἀπολυτίκιον τῆς Μεσοπεντηκοστῆς· *Μεσούσης τῆς Ἑορτῆς…* Καὶ νῦν…τὸ θεοτοκίον τῶν ὡρῶν. Εἰς τὸ τρισάγιον, τὸ κοντάκιον τῆς Σαμαρείτιδος· *Πίστει ἐλθοῦσα ἐν τῷ φρέατι…*

## Εἰς τὴν Λειτουργίαν

Τὰ τυπικά. Οἱ μακαρισμοὶ τοῦ δ' ἤχου εἰς δ' τροπάρια, ἐκ τοῦ κανόνος τῆς Μεσοπεντηκοστῆς ἡ γ' ᾠδὴ εἰς δ' τροπάρια, ἄνευ εἰρμῶν και τῆς Σαμαρείτιδος ἡ ϛ' ᾠδὴ εἰς δ' τροπάρια, ἄνευ εἰρμῶν. Εἰσοδικὸν τό· *Δεῦτε προσκυνήσωμεν…ὁ ἀναστὰς ἐκ νεκρών…*Ἀπολυτίκια μετὰ τὴν εἴσοδον· *Τὸ φαιδρόν της Ἀναστάσεως κήρυγμα…*τῆς Μεσοπεντηκοστῆς· *Μεσούσης τῆς Ἑορτῆς…*τοῦ ἁγίου τῆς μονῆς ἢ τοῦ ἁγίου τοῦ ναοῦ…ἡ ὑπακοὴ τοῦ ἤχου· *Τὰ τῆς σῆς παραδόξου Ἐγέρσεως…*τὸ κοντάκιον τῆς Μεσοπεντηκοστῆς· *Τῆς Ἑορτῆς τῆς νομικῆς μεσαζούσης…*Δόξα…τὸ κοντάκιον τῆς Σαμαρείτιδος· *Πίστει ἐλθοῦσα ἐν τῷ φρέατι…*Καὶ νῦν…τὸ κοντάκιον τοῦ Πάσχα· *Εἰ καὶ ἐν τάφῳ κατῆλθες…*Τρισάγιον. Προκείμενον καὶ Ἀλληλουϊάριον τοῦ ἤχου. Ἀπόστολος τῆς Κυριακῆς τῆς Σαμαρείτιδος· *Διασπαρέντες οἱ ἀπόστολοι ἀπὸ τῆς θλίψεως τῆς γενομένης ἐπὶ Στεφάνῳ…* (Πραξ. ια' 19-30), ὁ ζήτει τῇ πέμπτῃ Κυριακῇ ἀπὸ τοῦ Πάσχα. Εὐαγγέλιον ὁμοίως· *Ἔρχεται ὁ Ἰησοῦς εἰς πόλιν τῆς Σαμάρειας…*(Ἰωάν. δ' 5-42), ὁ ζήτει τῇ πέμπτῃ Κυριακῇ ἀπὸ τοῦ Πάσχα. Εἰς τὸ ἑξαιρέτως, τό· *Ὁ Ἄγγελος ἐβόα…Φωτίζου, φωτίζου…*Κοινωνικὸν· *Αἰνεῖτε τὸν Κύριον…* Ἀντὶ τοῦ· *Εἴδομεν τὸ φῶς…*τὸ· *Χριστὸς ἀνέστη…*ἅπαξ. *Εἴη τὸ ὄνομα Κυρίου…* Δόξα…Καὶ νῦν… οἱ δύο ψαλμοὶ· *Εὐλογήσω τὸν Κύριον…Ὑψώσω σὲ ὁ Θεός μου…*καὶ ἡ ἀπόλυσις.

**Σημείωσις:** Ἡ ἀκολουθία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, θὰ ψαλλεῖ τῇ αὐτῇ Κυριακῇ ἑσπέρας ἐν τῷ ἀποδείπνῳ, μετὰ τοῦ κανόνος τῆς Θεοτόκου.

**Εἴδησις:** Δεῖ γινώσκειν ὅτι ἡ ἀκολουθία τῆς Σαμαρείτιδος ψάλλεται τῇ Κυριακῇ σήμερον, τῇ Πέμπτῃ, τῇ Παρασκευῇ καὶ τῷ Σαββάτῳ, ὅτε καὶ ἀποδίδοται. Τῇ Δευτέρᾳ, Τρίτῃ καὶ Τετάρτῃ ψάλλεται ἡ ἀκολουθία τῆς Μεσοπεντηκοστῆς, ὅτε καὶ ἀποδίδοται.